Ἔχων ταῖς ἁμαρτίαις νενεκρωμένην ψυχήν· ἐπὶ τὴν σὴν
πρόδρομε κατὰ φύσιν ζωοποιὸν ἀντίληψιν· μακάριε ζώωσόν με·
πράξεσιν εὐαρέστοις τῇ μεσιτείᾳ σου:·
Νόμοις τῆς ἐρήμου ἐναυλιζόμενος· καταμόνας ὡμίλησε
τῷ καταμόνας πλάσαντι· κρεῶν· ταῖς πρεσβείαις καὶ να-
ταμόναν· πρόδρομε ἐπ' ἐλπίσι σε κατοικήσαντι:·
Προλήψεις ὀλεθρίων πολιορκεῖ με παθῶν· καὶ συνήθειαι
φαῦλαι παλαιωθεῖσαι χρόνῳ μακρῷ· ὡς τύραννοι ἕλκουσί με
εἰς δουλείαν· πρόφθασον ἐξελοῦ με κύριε πρόδρομε:·
Γέγονας ὑπὲρ λόγον· τοῦ διαλόγου τὸ πνεῦμα· συγκροτούμενον
λόγον· λόγου θεοῦ λοχεύτρια· διὸ βοῶ ἀλογώνυμε παθῶν
ῥῦσαι· ὅπως ὑμνολογῶ σε τὴν πολυύμνητον:· ᾠδὴ γ'
Ἠλίας ἐξ οὐρανῶν εὐχῇ πῦρ κατήγαγε· ὁ πήξας ἐπ' οὐδενός:·
καὶ πεντηκοντάρχους δὶς τοὺς κατέφλεξε· τοὺς πεντη-
κοντάρχους τοιγαροῦν· καὶ τοὺς ἑκατοντάρχους· καὶ
χιλιάρχους τῶν ἐμῶν παθῶν· φλέξον βαπτιστὰ πρεσ-
βειῶν σου πυρί:·
Νεφέλαι· χριστιανοὺς σκεπάζουσαι· καὶ σκιάζουσαι·
καὶ παθῶν τοῦ καύσωνος ἀναψύχουσαι· καὶ φωτοφανὴς
στῦλος πυρός· πρόδρομε χρηματίζεις· νέου λαοῦ
προπορευόμενος· καὶ πρὸς σωτηρίαν ἰθύνων ἡμᾶς:·
Φιάλαι τῶν ἀρωμάτων αἰσθανόμενες σου· μυρεψικῶν
χαρισμάτων ἀρωματίζουσι· καὶ δυσωδιάζουσι σοφέ· νό-
σων δυσωδίαν· τὸ γὰρ πολύτιμον καὶ ἄχραντον·
7 μῦρον τοῦ χριστοῦ ἀποπνέουσιν:·
Ἐτρώθη λῶ τῆς κ Δομνῆς ῥομφαίᾳ καὶ τέθνηκα· καὶ θανὼν

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_138/0314